παντὸς ἁπτόμενος ἱεροῦ καὶ παντὶ βωμῷ σοφιστικὴν ἐπάγων πεῖραν, οὐδέν᾽ ἀσυκοφάντητον οὐδ᾽ ἀβασάνιστον ἀπολείψεις· πόρρω γὰρ οὐκ ἄπειμι (Eur. fr. 898, 1),

'τὴν δ᾽ Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;'
'ἥδ᾽ ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ᾽ ἔρον,
οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν᾽ ἔκγονοι' (Eur. Hipp. 449).

E 'ζείδωρον' γὰρ αὐτὴν Ἐμπεδοκλῆς (fr. 151) 'εὔκαρπον' δὲ Σοφοκλῆς (fr. 763) ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν. ἀλλ᾽ ὅμως τὸ μέγα τοῦτο καὶ θαυμαστὸν Ἀφροδίτης μὲν ἔργον Ἔρωτος δὲ πάρεργόν ἐστιν Ἀφροδίτῃ συμπαρόντος· μὴ συμπαρόντος δὲ κομιδῇ τὸ γινόμενον ἄζηλον ἀπολείπεται καὶ 'ἄτιμον καὶ ἄφιλον'. ἀνέραστος γὰρ ὁμιλία καθάπερ πεῖνα καὶ δίψα πλησμονὴν ἔχουσα πέρας εἰς οὐθὲν ἐξικνεῖται καλόν· ἀλλ᾽ ἡ θεὸς Ἔρωτι τὸν κόρον ἀφαιροῦσα τῆς ἡδονῆς φιλότητα ποιεῖ καὶ σύγκρασιν. διὸ Παρμενίδης (fr. 13) μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης ἔργων πρεσβύτατον ἐν τῇ κοσμογονίᾳ γράφων

F 'πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων'·

Ἡσίοδος (Th. 120) δὲ φυσικώτερον ἐμοὶ δοκεῖ ποιεῖν Ἔρωτα πάντων προγενέστατον, ἵνα πάντα δι᾽ ἐκεῖνον μετάσχῃ γενέσεως. ἂν οὖν τὸν Ἔρωτα τῶν νενομισμένων τιμῶν ἐκβάλλωμεν, οὐδ᾽ αἱ τῆς Ἀφροδίτης κατὰ χώραν
757 μενοῦσιν. | Οὐδὲ γὰρ τοῦτ᾽ ἔστιν εἰπεῖν, ὅτι τῷ μὲν Ἔρωτι λοιδοροῦνταί τινες [ἀλλὰ] ἀπέχονται ⟨δ᾽⟩ ἐκείνης, ἀλλ᾽ ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν (Eur. fr. 322, 1)

'Ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ'